27 κατασυριεῖ, καὶ πεσοῦνται τραυματίαι πολλοί. [27]καὶ δύο βασιλεῖς 𝔊
μόνοι δειπνήσουσιν ἐπὶ τὸ αὐτὸ καὶ ἐπὶ μιᾶς τραπέζης φάγονται
καὶ ψευδολογήσουσι καὶ οὐκ εὐοδωθήσονται· ἔτι γὰρ συντέλεια
28 εἰς καιρόν. [28]καὶ ἐπιστρέψει εἰς τὴν χώραν αὐτοῦ ἐν χρήμασι πολ-
λοῖς, καὶ ἡ καρδία αὐτοῦ ἐπὶ τὴν διαθήκην τοῦ ἁγίου· ποιήσει καὶ
29 ἐπιστρέψει ἐπὶ τὴν χώραν αὐτοῦ [29]εἰς καιρόν. καὶ εἰσελεύσεται εἰς
30 Αἴγυπτον, καὶ οὐκ ἔσται ὡς ἡ πρώτη καὶ ἡ ἐσχάτη. [30]καὶ ἥξουσι
Ῥωμαῖοι καὶ ἐξώσουσιν αὐτὸν καὶ ἐμβριμήσονται αὐτῷ· καὶ ἐπι-
στρέψει καὶ ὀργισθήσεται ἐπὶ τὴν διαθήκην τοῦ ἁγίου· καὶ ποιή-
σει καὶ ἐπιστρέψει καὶ διανοηθήσεται ἐπ᾽ αὐτούς, ἀνθ᾽ ὧν ἐγκατ-
31 έλιπον τὴν διαθήκην τοῦ ἁγίου. [31]καὶ βραχίονες παρ᾽ αὐτοῦ στήσον-
ται καὶ μιανοῦσι τὸ ἅγιον τοῦ φόβου καὶ ἀποστήσουσι τὴν θυσίαν
32 καὶ δώσουσι βδέλυγμα ἐρημώσεως. [32]καὶ ἐν ἁμαρτίαις διαθήκης
μιανοῦσιν ἐν σκληρῷ λαῷ, καὶ ὁ δῆμος ὁ γινώσκων ταῦτα κατ-
33 ισχύσουσι καὶ ποιήσουσι. [33]καὶ ἐννοούμενοι τοῦ ἔθνους συνήσου-
σιν εἰς πολλούς· καὶ προσκόψουσι ῥομφαίᾳ καὶ παλαιωθήσονται
ἐν αὐτῇ καὶ ἐν αἰχμαλωσίᾳ καὶ ἐν προνομῇ ἡμερῶν κηλιδωθήσον-
34 ται. [34]καὶ ὅταν συντρίβωνται, συνάξουσιν ἰσχὺν βραχεῖαν, καὶ ἐπι-

29 και 1⁰] pr. ※επιστρεψει 88 Sy || 30 οργισθησεται] -σονται 88

---

27 κατακλύσει, καὶ πεσοῦνται τραυματίαι πολλοί. [27]καὶ ἀμφότεροι οἱ θ'
βασιλεῖς, αἱ καρδίαι αὐτῶν εἰς πονηρίαν, καὶ ἐπὶ τραπέζῃ μιᾷ ψευδῆ
28 λαλήσουσιν, καὶ οὐ κατευθυνεῖ· ὅτι ἔτι πέρας εἰς καιρόν. [28]καὶ
ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ ἐν ὑπάρξει πολλῇ, καὶ ἡ καρδία αὐ-
τοῦ ἐπὶ διαθήκην ἁγίαν, καὶ ποιήσει καὶ ἐπιστρέψει εἰς τὴν γῆν
29 αὐτοῦ. [29]εἰς τὸν καιρὸν ἐπιστρέψει καὶ ἥξει ἐν τῷ νότῳ, καὶ οὐκ
30 ἔσται ὡς ἡ πρώτη καὶ ὡς ἡ ἐσχάτη. [30]καὶ εἰσελεύσονται ἐν αὐτῷ
οἱ ἐκπορευόμενοι Κίτιοι, καὶ ταπεινωθήσεται· καὶ ἐπιστρέψει καὶ
θυμωθήσεται ἐπὶ διαθήκην ἁγίαν· καὶ ποιήσει καὶ ἐπιστρέψει καὶ
31 συνήσει ἐπὶ τοὺς καταλιπόντας διαθήκην ἁγίαν. [31]καὶ σπέρματα
ἐξ αὐτοῦ ἀναστήσονται καὶ βεβηλώσουσιν τὸ ἁγίασμα τῆς δυνα-
στείας καὶ μεταστήσουσιν τὸν ἐνδελεχισμὸν καὶ δώσουσιν βδέλυγ-
32 μα ἠφανισμένον. [32]καὶ οἱ ἀνομοῦντες διαθήκην ἐπάξουσιν ἐν ὀλισ-
θρήμασιν, καὶ λαὸς γινώσκοντες θεὸν αὐτοῦ κατισχύσουσιν καὶ
33 ποιήσουσιν. [33]καὶ οἱ συνετοὶ τοῦ λαοῦ συνήσουσιν εἰς πολλά· καὶ
ἀσθενήσουσιν ἐν ῥομφαίᾳ καὶ ἐν φλογὶ καὶ ἐν αἰχμαλωσίᾳ καὶ
34 ἐν διαρπαγῇ ἡμερῶν. [34]καὶ ἐν τῷ ἀσθενῆσαι αὐτοὺς βοηθηθή-

29 ως ult. > B = 𝔊 || 30 εν αυτω οι] οι εν αυτω και οι A || 31 και σπερματα] και βραχιονες *L* = 𝔊, pr. και βραχιονες AQmu. | δυναστειας] δυναμεως A | ενδελεχιστον A† || 32 και οι] και λαοι A† | επαξουσιν] εξαξ. A† | ολισθρ.: cf. 21 | γινωσκοντες] -κων A || 33 του λαου] λαου μου A(†), λαου Q

http://digital.slub-dresden.de/id41624694X/936 SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG